*τῶν τριῶν* [ 6 ] *ἔρωϲ προὐξένηϲε ε̣ι̣δ̣*[ 4 ]*των διδόντων ονδ*[.....].
*τὰ μὲν* [*οὖν*] *τῆϲ ὑποθ*[*έϲεώϲ ἐϲ*[*τι ταῦτα*]· *τὸ δὲ δ*[*ρᾶμα τῶν ἀ*[*ρίϲτων*· *ἔχ*]*ει δὲ πρ*[*εϲβύτην*] *εὐ*[......]*ν, νεανί*[*ϲκουϲ*][1] *φι*[*λ*.....*ο*]*υ̣ϲ*,[2] *οἰκέτην φιλο*[.......]*ν καὶ παν*[*οῦργον*.][3] *ἔ*[*χει δ'*] *ἐπὶ πᾶϲιν καὶ τ*[ ]*τωι παραφώνηϲιν πρ*[

## 210 (245 K)

IVSTINVS, *de monarchia* 5. *ὁ αὐτὸϲ Μένανδροϲ ἐν Ἱερείαι.*

*οὐθεὶϲ δι' ἀνθρώπου θεὸϲ ϲώιζει, γύναι,*
*ἑτέρου τὸν ἕτερον. εἰ γὰρ ἕλκει τινὰ θεὸν*
*τοῖϲ κυμβάλοιϲ ἄνθρωποϲ εἰϲ ὃ βούλεται,*
*ὁ τοῦτο ποιῶν ἐϲτι μείζων τοῦ θεοῦ.*
*ἀλλ' ἔϲτι τόλμηϲ καὶ βίαϲ ταῦτ' ὄργανα*
*εὑρημέν' ἀνθρώποιϲ ἀναιδέϲιν, Ῥόδη,*
*εἰϲ καταγέλωτα †τῶι βίωι† πεπλαϲμένα.*

## *ΙΜΒΡΙΟΙ*

PAPYRVS OXYRHYNCHICA 1235

*Ἴμβριοι, ὧν ἀρχή*

*Δι' ὅϲου χρόνου ϲε, Δημέα βέλτιϲτ', ἐγώ.*

*ταύτην ἔγραψεν ἐπὶ Νικοκλέο*[*υϲ*[1] (302–1 a.C.) ...]*την*[2] *καὶ ἑβδομηκοϲτὴν καὶ ἔδωκεν εἰϲ ἐργαϲίαν* [*εἰϲ τὰ*] *Διονύϲια, οὐκ ἐγένετο δὲ διὰ Λαχάρην τὸν τύραννο̣*[*ν*· *ἔπει*]*τα ὑπεκρίνατο Κάλλιπποϲ Ἀθηναῖοϲ.*[3]

*ἡ δ' ὑπόθεϲιϲ· δύο πένητεϲ ἀλλήλων φίλοι*[4] *κοινὸν ποιηϲάμενοι τὸν*[5] *βίον Ἴμβρον ᾤκηϲαν καὶ διδύμαϲ ἀδελφὰϲ ἔγημαν*[6] *κοινοποιηϲάμενοι π̣*[*ᾶϲαν*][7] *ἅμα καὶ τὴν ὕπαρξιν. φιλοπόνωϲ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐργα̣ζ̣*[*όμενοι*] . . .